BISETUS. Ελθὼν, ἐκείνη. ] στικτέον μετὰ τὸ ἐλθών. καὶ τὸ ἐκείνη πρὸς τὸ εὖ ἅρμοσον ἀνοιστέον, οὕτω, πρὸς ἑσπέραν ἐλθών, ἐκείνη, τῇ μου γυναικὶ δηλονότι, εὖ ἅρμοσον τὴν βάλανον τῷ τρήματι αὐτοῦ. ἀλλ' ἐκ τούτων, καὶ τὰ ἄνω περὶ τῆς βαλάνου, καὶ τοῦ τρήματος λεγόμενα δῆλον ἔχειν ἀμφιβολίαν κακεμφάτου, καὶ διὰ τούτων τὴν τῆς συνουσίας ἀσέλγειαν ὑποσημαίνεσθαι. καὶ γὰρ ἡ βάλανος τὸ τοῦ ἀνδρός, καὶ τὸ τρῆμα τὸ τῆς γυναικὸς αἰδοῖον σημαίνειν δύναται. καὶ αὕτη ἡ τοῦ βαλάνου ἅρμοσις πρὸς τῇ γυναικί, παιδιᾶς καὶ γέλωτος χάριν ἀμφιβόλως τὴν βάλανον ἐκ τοῦ τρήματος τοῦ ὅρμου ἐκπεσοῦσαν, εἶτα ὑπὸ τοῦ δημιουργοῦ πάλιν ἐναρμοσθεῖσαν, καὶ τὸν τῆς συνουσίας τρόπον ἴσως δηλοίη. τούτων δὲ ὁ νοῦς ἐστί. Εἴ τι παρὰ τὸν τῆς εὐσεβείας, καὶ σωφροσύνης νόμον αἱ ἡμῶν γυναῖκες ἀσελγέστερον ἁμαρτάνουσιν, ἁμαρτήματος τοιούτου τὴν αἰτίαν ἡμᾶς ἀνέχειν ἐχρῆν. καὶ γὰρ ἡμεῖς αὐτοὶ ταῖς ἡμετέραις γυναιξὶ ξυμπονηρευόμεθα, καὶ τρυφᾶν, καὶ ἀσελγαίνειν αὐτὰς διδάσκομεν, καὶ πάσης ἀκολασίας ἀφορμὴν αὐταῖς παρέχομεν. τὸ μὲν, τῇ τῶν λόγων ἀπρεπεστέρων εὐηθείᾳ, τὸ δέ, τῇ τῶν ἔργων ἀναιδεστέρων ἀποδείξει. οὐ τοίνυν αὐτάς, ἀλλ' ἡμᾶς αὐτοὺς ὡς τούτων ἁπάντων αἰτίους δικαίως αἰτιατέον. Ἐν τισὶ δὲ τῶν ἀντιγράφων ἀντὶ τοῦ εὖ ἅρμοσον, γέγραπται ἐνάρμοσον. ὃ καὶ καλῶς ἔχει. Τὸ ζυγόν. ] ταῦτα ληπτέον οὕτω, τὸ ζυγὸν πιέζει τοὺς πόδας κατὰ τὸ δακτυλίδιον. ζυγὸν δέ, ὃ καὶ ἀρσενικῶς ζυγός, ὁ παρακείμενος ἱμὰς τοῖς δακτύλοις πλαγίοις ἐπὶ τῶν σανδαλίων. ἁθ' ἁπαλὸν ὄν. ἅτε ἀντὶ τοῦ ὡς, ὡς δηλαδή. πιέζει δέ, θλίβει, σφίγγει. ἀλλ' ἴσως βέλτιον γράφειν ὑποπιέζει. καὶ τοῦ νοῦ καὶ τοῦ μέτρου χάριν, ἐὰν τὸ πρότερον τοῦ δακτυλίδιον συστέλλεται. τὸ γὰρ ι φύσει κοινόν. Ὅπως ἂν εὐρυτέρως ἔχῃ. ] καὶ ταῦτα κακεμφάτου πολλὴν ἀμφιβολίαν, καὶ φανερὰν ὑπονόησιν ἔχει τῶν μετὰ τὴν συνουσίαν ταῖς γυναιξὶ συμβαίνειν εἰωθότων. Ἐκποείσας. ] ὁ νοῦς. Ἐγὼ τῆς βουλῆς ὢν ἔξαρχος, ἤγουν ἄρχων, καὶ παρασκευάσας ὅπως πλεῖστοι κωπῆς ἔσονται, νῦν ὅτε τῶν χρημάτων χρείαν ἔχομεν μεγάλην, ὅμως ὑπὸ τῶν γυναικῶν ἀποκέκλεισμαι τῶν πυλῶν τῆς ἀκροπόλεως, ὅπου τὰ χρήματα τῆς πόλεως ἐν τῷ ταμείῳ κεῖται. ἄλλως. ἐκποείσας τὸ ἀργύρειον, εἴτε τὰ χρήματα συλλέξας, χρημάτων εὐποείαν συλλέξας ὅπως πλείστους κωπῆς, εἴτε κωπηλάτας, ἤγουν ἐρέτας ἕξομεν, νῦν ἡμῶν μεγάλην χρημάτων χρείαν ἐχόντων, ὑπὸ τῶν Γυναικῶν, καὶ τὰ ἑξῆς. ὅπως κωπῆς ἔσονται λέγει, ὅτι πρὸς τὸν πλοῦν, καὶ τὰς ναυτικὰς στρατείας πολλῶν κωπηλατῶν ἔδει. πολλοὺς δὲ κωπηλάτας ἄνευ χρημάτων ἔχειν ἀδύνατον. χρήματα δὲ τοῖς κωπηλάταις παρέχειν οὐκ ἐδύναντο, τῆς ἀκροπόλεως ὑπὸ τῶν γυναικῶν καταληφθείσης. κωπῆς δὲ Ἀττικῶς, ὡς τὸ ἱππῆς. παρὰ δὲ τὴν κώπην, κώπευς εἴρηται. καὶ τὸν κωπηλάτην σημαίνει. Ἀλλ' οὐδὲν ἔργον ἑστάναι. ] οὐ δεῖ τὸν χρόνον μάτην ἐκτρίβειν. Ὅπως ἄν. ] ὅπως τὴν αὐτῶν ὕβριν σχήσω καὶ παύσω. Ποῖ κέχηνας ] ἥδε ἡ γραφὴ οὐ καλῶς ἔχει. καὶ μέτρου χάριν γραπτέον, Τί κέχηνας; Μηδὲν ἐκμοχλεύσετε. ] ἡ Λυσιστράτη, τοὺς ἄνδρας ἤδη τὴν τῶν πυλῶν διάρρηξιν ἐπιχειροῦντας ἰδοῦσα, τῶν μοχλῶν ἀφιέναι κελεύει, αὐτῆς πρὸς αὐτούς, αὐτομάτως αὐτίκα προσελευσομένης.

CHR. Πιέζει τὸ ζυγόν. ] Explanat Hesychius cùm ait ἱμάντα esse παρακείμενον τοῖς δακτύλοις ἐπὶ τῶν σανδαλίων, sed addit Sudas πλαγίοις δακτύλοις. Mox cùm ait ἐκποείσας, intellige ἐξανύσας. Ὅπως κωπῆς ἔσονται. ] Aut falli me necesse est (quod sæpè nimis accidit) aut innuit de Trierarchia, Nã qui istud muneris obibat & ad nauale bellum necessaria suppeditabat, τριηραρχεῖν dicebatur, victum autem remigibus sufficiebant Trierarchi. Ποῖ κέχηνας ὦ. ] Hic versus Trimeter est Trochaicus Catalect. Tamen si ποῖ exsulare facis, aut παρεπιγραφῆς locum obtinere vis, similis erit versus cęteris Trimetris Iambicis. Mox verò pro ὑποβαλόντε lego ὑποβαλόντες. versus autem ille οὐ γὰρ μοχλῶν δεῖ, nisi fallit me memoria, parodia est ad versus Euripidæ.

E

ΠΡΟΒΟΥΛΟΣ, ΛΥΣΙΣΤΡΑΤΗ, Στρατυλλίς.

PROBULUS, LUSISTRATA, Stratullis.

Πρ. Ἄληθες ὦ μιαρὰ σύ. ποῦ 'σθ' ὁ τοξότης;
Ξυλλάμβαν' αὐτὴν κ' ὀπίσω τὼ χεῖρε δεῖ.
F Λυ. Εἴ τ' ἄρα νὴ τὴν Ἄρτεμιν τὴν χεῖρά μοι
Ἄκραν προσοίσει δημόσιος ὢν κλαύσεται.
Πρ. Ἔδεισας οὗτος; οὐ ξυναρπάσει μέσην;
Λυ. Καὶ σὺ μετὰ τούτου κἀνύσαντε δήσετον.
Στ. Εἴ τ' ἄρα νὴ τὴν Πάνδροσον ταύτῃ μόνον
Τὴν χεῖρ' ἐπιβαλεῖς, ἐπιχεσεῖ πατούμενος.
G Πρ. Ἰδού γ' ἐπιχεσεῖ. ποῦ 'στιν ἕτερος τοξότης;
Ταύτην προτέραν ξύνδησον ὁτιὴ καὶ λαλεῖ.
Λυ. Εἴ τ' ἄρα νὴ τὴν Φωσφόρον τὴν χεῖρ' ἄκραν
Ταύτῃ προσοίσεις, κύαθον αἰτήσεις τάχα.

*PROB.* *Placet nefanda? lictor arcitenens ubi est?*
*Heus tu prehende hanc & liga à tergo manus.*
F *LUS.* *Testor Dianam, si quis admorit manum*
*Liturgus in me tantulum, flebit nimis.*
*PR. Quid extimescis? non prehendis ocyus?*
*Non ibis & tu colligaturus statim?*
*STR.* *Per Pandroson, si tu manum isti inieceris*
*Vel paululùm calcatus hic cacans eris.*
G *PR. Hui cacans! ubi alter est sagittifer?*
*Prius volo istam vinclas quæ sic blatit.*
*STR. Per albicantis lucis auctorem deam,*
*Si taxis istam, forsit ut cotulam petas.*